


Κλάσω, κλᾶδαι, ἀντὶ κλῄσω, κλῇδαι.
Δωρίσδεν, τύπτες, ἀντὶ δωρίζειν, τύπτεις.
Ὅρη, ἀντὶ ὅρα (βλέπε)
ζῆν, ἀντὶ ζᾶν, γελῆς, γελᾷς, πεινῆ, πεινᾷ, διψῆς, διψᾷς· ἄλλοι δὲ ζῆν, πεινῇ, διψῇ γράφουσι, καὶ ἀντὶ τοῦ α, τὸ η, ἀντικαθιστῶσι.
Κοσμῆν, ἀντὶ κοσμεῖν, καθόδην ἀντὶ καθοδεῖν.
Λαλῆν, ἀντὶ λαλεῖν.
Ὤρεα, ἀντὶ ὄρεα, ἤγουν ὄρη.
Ὥνεκα, ἀντὶ ἕνεκα.
Τὼς λύκος, τὰς παρθένος, ἀντὶ λύκους, παρθένους.
Αἰ ἀντὶ εἰ, καὶ αἴθε, ἀντὶ εἴθε.
Τείχοις, ποθέοιται, φιλέοισιν, ἀντὶ τείχους, ποθοῦνται, φιλοῦσι.

Τοῦτο γίνεται, ὅτε εἰς ου, τὸ εο, ἢ εου, κιρνᾶται· ἢ τὸ ου, ἐν τοῖς ῥήμασι περισπᾶται, κἂν μὴ ἐκ συναιρέσεως, ἢ κράσεως ἄρχηται· οἷον ἄλλομαι, ὁ μέλλων ἀλοῦμαι, καὶ δωρικῶς ἀλεῦμαι. Τοῦτο οἱ Δωριεῖς οὐ μόνον ἐν τῷ μέσῳ μέλλοντι, ἀλλ᾽ ἔτι καὶ ἐν τῷ αʹ μέλλοντι ποιοῦσι· καὶ ἐπειδὴ τὸν αʹ ἐνεργητικὸν μέλλοντα αὐτοὶ περισπῶσιν· οἷον ἀπὸ τοῦ λανθάνω, ὁ μέλλων λησῶ, ἤγουν λασῶ, ἕπεται ὅτι καὶ ἐκεῖνος ὁ αʹ μέσος μέλλων οὐ ποιεῖ λήσομαι, ἢ λάσομαι, ἀλλὰ λασεῦμαι, ἀντὶ τοῦ λασοῦμαι· ὅμως τοῦτο οὐκ ἀεὶ γίνεται, εὑρίσκεται γὰρ παρὰ Θεοκρίτῳ πλευσεῦμαι ἀπὸ τοῦ πλέω, ἴσως ἵνα τὴν κακοφωνίαν φύγῃ λέγων πλευσοῦμαι· οὔτε ἀεὶ τὸν μέλλοντα περισπῶσιν, ὅθεν παρὰ Θεοκρίτῳ εὑρίσκεται, ἄσομαι.